Ακαδημία Αθηνών / Academy of Athens

**καρδία.** Καρδιά, heart, Φιλόλαος 13.2-5 *κεφαλὰ μὲν νόου, κ α ρ δ ί α δὲ ψυχᾶς καὶ αἰσθήσιος ... ἐγκέφαλος δὲ ⟨σαμαίνει⟩ τὰν ἀνθρώπω ἀρχάν, κ α ρ δ ί α δὲ τὰν ζώου* Διογένης 6.8 *ἀπὸ δὲ τούτων καθ' ἅπαν τὸ σῶμα φλέβες διατείνουσιν ... μέγισται μὲν δύο εἰς τὴν κ α ρ δ ί α ν.* || Πυθαγόρειοι C 6 (DK I 465,29) *μὴ κ α ρ δ ί α ν ἐσθίειν.* || Δημόκριτος 195 *εἴδωλα ἐσθῆτι καὶ κόσμῳ διαπρεπέα πρὸς θεωρίην, ἀλλὰ κ α ρ δ ί η ς κενεά.* Πρβλ. *περικάρδιον.*

**καρπαλίμως.** Πολὺ γρήγορα/ὁρμητικά, very quickly/rapidly, Ἐμπεδοκλῆς 51 *κ α ρ π α λ ί μ ω ς δ' ἀνόπαιον.*

**καρπός.** Καρπός, fruit, Δημόκριτος 11g (τίτλ.). *Αἰτίαι περὶ σπερμάτων καὶ φυτῶν καὶ κ α ρ π ῶ ν* 148 *ὁ γὰρ ὀμφαλὸς ... πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ κ α ρ π ῷ καὶ μέλλοντι.*

**καρφαλέος** (συνών. *ξηρός*, ἀντίθ. *διερός, ὑγρός*). Ξηρός, dry, Ἡράκλειτος 126 *τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑγρὸν αὐαίνεται, κ α ρ φ α λ έ ο ν νοτίζεται.* Πρβλ. *αὐαίνεσθαι.*

**καταβάλλειν.** Ἀπορρίπτω/καταφρονῶ, reject/disdain, Δημόκριτος 125 *τάλαινα φρήν, παρ' ἡμέων λαβοῦσα τὰς πίστεις ἡμέας κ α τ α β ά λ λ ε ι ς;*

**κατάβλημα.** Ἀπόρριψη/καταφρόνεση, rejection/disdain, Δημόκριτος 125 *τάλαινα φρήν, παρ' ἡμέων λαβοῦσα τὰς πίστεις ἡμέας καταβάλλεις; πτῶμά τοι τὸ κ α τ ά β λ η μ α.*

**καταβολή.** Ἔγχυση/ἐμφύτευση, infusion/implantation, Φιλόλαος 13.4 τέσσαρες ἀρχαὶ τοῦ ζῴου τοῦ λογικοῦ ... *κεφαλὰ μὲν νόου, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος, ὀμφαλὸς δὲ ῥιζώσιος καὶ ἀναφύσιος τοῦ πρώτου, αἰδοῖον δὲ σπέρματος [καὶ] κ α τ α β ο λ ᾶ ς τε καὶ γεννήσιος.*

**καταθνήσκειν.** Πεθαίνω, die, Ἐμπεδοκλῆς 11.3 *οἳ δὴ γίγνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν ἤ τι κ α τ α θ ν ῄ σ κ ε ι ν τε καὶ ἐξόλλυσθαι ἁπάντη.* Πρβλ. *γίγνεσθαι, ἐξόλλυσθαι.*

**καταθύμιος.** Σύμφωνος μὲ τὶς ὑπαγορεύσεις τῆς καρδιᾶς/

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ